A Κυλοιδιᾷν] τὰ κύλα, καὶ κυλάδες, τὰ ὑπὸ τοὺς ὀφθαλμούς, ἐπικύλια δὲ τὰ ἐπάνω τῶν ὀφθαλμῶν. ὅθεν κυλοιδιᾷν παρ᾽ Ἀττικοῖς, τὰ κύλα τῶν ὀφθαλμῶν οἰδεῖν ἐκ μακροϋπνίας, ἤγουν, ἀϋπνίας. Εὐστάθιος. ἐνταῦθα δὲ κυλοιδιᾷν διὰ τὰ πλήγματα νοητέον. Κάρφος.] τὸ ξηρὸν ξυλήφιον. ξύλον λεπτότατον, καὶ ξηρότατον, καὶ κουφότατον. παρὰ τὸ κάρφω, τὸ ξηραίνω. κάρφος δὲ οἱ Ῥωμαῖοι κατὰ τὴν ἐπιχώριον διάλεκτον φεστοῦκαν ὀνομάζουσι, ὥσπερ ὀνόματι μικρότατον, καὶ λεπτομερέστατόν τι δηλοῦσι. σφηκίαν ἤγουν, σφηκῶν ἑσμόν. βλίττειν δέ, τὸ μέλι ἐκπιέζειν. τὸ μέλι ἀπὸ τῶν κηρίων ἀφαιρεῖν. τὰ τῶν μελιττῶν κηρία B θλίβειν. τὸ δὲ σφηκίαν βλίττειν, καὶ ἐρεθίζειν, παροιμιακῶς λέγεται περὶ τῶν αὐτοῖς κακόν τι παρὰ γνώμην ἀβούλως κτωμένων.

CHR. Καὶ ταῦτ᾽ ἄνευ κονίας.] Absque sordibus, nam κονία & κονίον & κόνιτρον accipitur plerunque ἀντὶ τοῦ ῥύπους. Paulo post vbi habes κοιλιδιᾷν lege κυλοιδιᾷν, vt est apud Theocritum primo Idyllio cùm de senibus loquitur fractis ocello patranti vt dixit Satyricus Persius, Et cum ait λυποῦσα μηδὲν, intelligo μηδένα, Quòd verò ait βλίττειν, hoc verbum est mel è fauis eripere. Mox distinguo ἀνεκτὰ τάδ᾽, ἀλλὰ β.

## ΚΟΜΜΑΤΙΟΝ ΧΟΡΟΥ.

Χο. ἀν. Ὦ Ζεῦ τί ποτε χρησόμεθα
Τοῖσδε τοῖσιν κνωδάλοις.
C Οὐ γὰρ ἔτ᾽ ἀνεκτὰ τάδ᾽ ἀλλὰ βασανιστέον
Τόδε σοι τὸ πάθος μετ᾽ ἐμοῦ.
Ὅ,τι βουλόμεναί ποτε τὴν Κραναὰν
Κατέλαβον. ἐφ᾽ ὅ,τι τε
Μεγαλόπετρον ἄβατον
Ἀκρόπολιν ἱερὸν τέμενος.
Ἀλλ᾽ ἀνερώτα καὶ μὴ πιθοῦ καὶ προσφέρε
πάντας ἐλέγχους
D Ὡς αἰσχρὸν ἀκωδώνιστον ἐᾶν τὸ τοιοῦτο πρᾶγμα
μεθέντας.

## COMMATION CHORI.

*CH.V. O Iuppiter ecquid faciam*
*Talibus nunc bestijs?*
*Non enim hæc ferenda, sed huius ineunda iam*
*Tibi causa mali, mihiq́;*
*Quid enim Cranai vrbem vt ita acciperent*
*Adigere potuit has?*
*Et Acropolin, aditu haud*
*Facilis vbi nemus petra habet?*
*Sed rogita, nec persuadetor, quin omnibus vtere*
*elenchis,*
*Nam turpe quidem est si res eiusmodi inexplorata sinatur.*

BISETVS. Ὦ Ζεῦ.] ὁ νοῦς. πῶς τούτοις τοῖς θηρείοις ἡμᾶς δεῖ προσφέρεσθαι; πῶς ταῦτα τὰ θηρεία διαθησόμεθα; τί περὶ τούτων γνωσόμεθα; τί δὲ τὸ κνώδαλον, ἐν τοῖς ἄνω ἐν ἀρχῇ τῶν Σφηκῶν προείρηται. Ἀλλὰ βασανιστέον.] νῦν ὁ τῶν ἀνδρῶν χορὸς πᾶν τὸ νεῖκος, καὶ ἔριν τὴν πρὸς γυναῖκας ἀφείς, πρὸς τὸν Πρόβουλον στραφεὶς πρὸς τὸ τῶν γυναικῶν τόλμημα ἀκριβῶς βασανίζειν E προτρέπει. βασανίζειν δέ, οὐ τὸ αἰκίζεσθαι, καὶ τιμωρεῖσθαι, καὶ μαστιγοῦν σημαίνει παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸ χωρὶς πληγῶν ἀνακρίνειν, καὶ ἐλέγχειν τἀληθὲς διὰ λόγων. ἀπὸ τῆς βασάνου τῆς χρυσοχοϊκῆς λίθου μεταφορικῶς. καὶ παροιμία, βάσανος λίθος, ἐπὶ ἐξεταζόντων ἐν λόγοις, ἢ ἔργοις. παρόσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκιμάζει. Σ. Τὴν Κραναὰν] οὕτω τὰς Ἀθήνας ἐκάλουν, διὰ τὸ τραχὺ, καὶ λεπτόγειον. ἢ ἀπὸ Κραναοῦ βασιλέως. καὶ πληθυντικῶς Κραναῶν τῶν Ἀθηνῶν. Ἀριστοφ. ἐν Ὄρνισιν, Ἔπειτα μείζω τῶν Κραναῶν ζητεῖς πόλιν; καὶ κραναῶν πετρῶν, τῶν τραχέων. Σ. βέλτιον δ᾽ ἴσως Κραναὰν ὀξυτόνως γράφειν. F εἴη δ᾽ ἔλλειψις τὴν χώραν, ἢ πόλιν, ἢ ἀκρόπολιν, ὃ καὶ πιθανώτερον. κραναὴ γὰρ χώρα ἡ τραχεῖα, καὶ πολλὴν ἔχουσα τραχύτητα, ὡς καὶ ἡ Ἀττική. Σ. καὶ Εὐ. τὸ γὰρ κραναὰν, κοινόν. κραναὴν γὰρ Ἰωνικόν. Ἐφ᾽ ὅ,τι] τίνος ἕνεκα; διὰ τί; τί ποτε βουλόμεναι; τίνι γνώμῃ; ἄβατον γὰρ, ἀπρόσιτον, ἀπόρευτον. Σ. Τέμενος] τεμένη, ναοί, ἱερά, ἄλση, ἢ τὰ ἀφωρισμένα κατὰ τιμὴν χωρία. Σ. καὶ τέμενος παρ᾽ Ὁμ. πᾶν τὸ περιωρισμένον, εἴτουν ἀποτετμημένον τῶν πέριξ, καὶ εἰς κτῆσιν ἰδίαν τινὸς ἀφωρισμένον χωρίον. παρὰ δὲ τοῖς ὕστερον μόνα τὰ τοῖς θεοῖς ἀφωρισμένα χωρία, τεμένη λέγονται. Εὐστάθιος. Ὅμηρος Ιλ. Ζ:

Καὶ μὴν οἱ Λύκιοι τέμενος τάμον ἔξοχον ἄλλων
Καλὸν φυταλιῆς, καὶ ἀρούρης, ὄφρα νέμοιτο.

Ἀκωδώνιστον.] ἀπείραστον, ἀβασάνιστον. κωδωνίσαι γὰρ τὸ διαπειρασθῆναι. μετῆκται δὲ ἀπὸ τῶν περιπολούντων, καὶ κώδωσι διαπειρωμένων, εἰ ἐγρηγόρασιν οἱ ἐπὶ τῆς φυλακῆς τεταγμένοι. περὶ τούτων γὰρ διὰ πλειόνων προείρηται ἐν τοῖς Βατράχοις.

CHR. Ἀκωδώνιστον ἐᾶν] id est, ἀπείραστον, ἀβασάνιστον, Metaphora sumpta ab iis qui fraxant vigilias & tubarum sono explorant dormiántne custodes. Alij à coturnicibus translatum putant, nonnulli ab equis, quidam à vasis, est autem διακωδωνίσαι idem quod δοκιμάζειν.

## ΠΡΟΒΟΥΛΟΣ, ΛΥΣΙΣΤΡΑΤΗ, Ἄλλη Γυνή.

G

Πρ. Καὶ μὴν αὐτῶν τοῦτ᾽ ἐπιθυμῶ νὴ τὸν Δία
πρῶτα πυθέσθαι
Ὅ,τι βουλόμεναι τὴν Ἀκρόπολιν ἡμῶν ἀπεκλείσατε μοχλοῖς.

## PROBVLVS, LVSISTRATA, Altera Mulier.

*PR. Ergo hoc primùm cupio scitari ab eis*
*& quærere causas.*
*Quasve quidve petentes nostram ferreo obice*
*clauditis vrbem?*